ματα ποιῆσαι δέκα τάλαντα· καὶ τοῦτο φήσας εἰσενηνέχθαι εἰς ἐράνους αὐτῷ· καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν οὐδὲ τὰς λειτουργίας, ὅσας λελειτούργηκε. καὶ προσελθὼν δ' εἰς τοὺς ἵππους τοὺς ἀγαθοὺς τοῖς πωλοῦσι προσποιήσασθαι ὠνητιᾶν. καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι τὸ χρυσίον οὐκ ἔχων αὐτῷ ἀκολουθεῖ. καὶ ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν φῆσαι ταύτην εἶναι τὴν πατρῴαν πρὸς τὸν μὴ εἰδότα, καὶ διότι μέλλει πωλεῖν αὐτὴν διὰ τὸ ἐλάττω εἶναι αὐτῷ πρὸς τὰς ξενοδοχίας.

Δ (ΚΓ)

## ΥΠΕΡΗΦΑΝΙΑΣ

Ἔστι δὲ ἡ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὑτοῦ τῶν ἄλλων, ὁ δὲ ὑπερήφανος τοιόσδέ τις, οἷος τῷ σπεύδοντι ἀπὸ δείπνου ἐντεύξεσθαι φάσκειν ἐν τῷ περιπατεῖν. καὶ εὖ ποιήσας μεμνῆσθαι φάσκειν καὶ βιάξεσθαι ἐν ταῖς ὁδοῖς τὰς διαίτας κρίνειν ἐν ⟨τάχει⟩ ἐπιτρέψασι. καὶ χειροτονούμενος ἐξόμνυσθαι τὰς ἀρχάς, οὐ φάσκων σχολάζειν. καὶ προσελθεῖν πρότερος οὐδενὶ θελῆσαι. καὶ τοὺς πωλοῦντάς τι ἢ μεμισθωμένους δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ' ἡμέρᾳ. καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνουσι, κάτω κεκυφώς, ὅταν δὲ αὐτῷ δόξῃ, ἄνω πάλιν. καὶ ἑστιῶν τοὺς φίλους αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν ὑφ' αὐτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. καὶ προαποστέλλειν δέ, ἐὰν πορεύηται, τὸν ἐροῦντα, ὅτι προσέρχεται. καὶ οὔτε ἐπ' ἀλειφόμενον αὐτὸν οὔτε λουόμενον οὔτε